ἀναφέρεται ἐπὶ τὸ πάθος ὅτι οἱ ἀνιώμενοι, A σκυθρωποί εἰσιν. οἱ δὲ κατηφεῖς, ὀδυρτικοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὀδυρόμενοι κατηφεῖς. Οἱ τὴν κεφαλὴν μεγάλην ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. οἱ δὲ μικρὰν, αἰσθητικοί· ἀναφέρεται ἐπὶ τοὺς κύνας. οἱ τὰς κεφαλὰς φοξοὶ, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς γαμψώνυχας.

Οἱ τὰ ὦτα μικρὰ ἔχοντες, πιθηκώδεις· οἱ B δὲ μεγάλα ὀνώδεις. ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς ἀρίστους μέτρια ὦτα ἔχοντας. Οἱ ἄγαν μέλανες, δειλοί. ἀναφέρεται ἐπὶ τοὺς Αἰγυπτίους, Αἰθίοπας. οἱ δὲ λευκοὶ ἄγαν δειλοί· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. τὸ δὲ πρὸς ἀνδρείαν συντελοῦν χρῶμα, μέσον δεῖ τούτων εἶναι. Οἱ ξανθοὶ, εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ πυρροὶ ἄγαν πανοῦργοι· ἀναφέρεται ἐπὶ τὰς ἀλώπεκας. C

Οἱ δὲ ὕπωχροι, καὶ τεταραγμένοι τὸ χρῶμα, δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, τὸ ἐκ τοῦ φόβου γινόμενον. οἱ δὲ μελίχλωροι, ἀπεψυγμένοι εἰσί· τὰ δὲ ψυχρὰ, δυσκίνητα· δυσκινήτων δὲ ὄντων τῶν κατὰ τὸ σῶμα, εἶεν ἂν βραδεῖς. Οἷς τὸ χρῶμα ἐρυθρὸν, ὀξεῖς· ὅτι πάντα τὰ κατὰ τὸ σῶμα ὑπὸ κινήσεως ἐκθερμαινόμενα, ἐρυθραίνεται. Οἷς δὲ τὸ χρῶμα D φλογοειδὲς, μανικοί· ὅτι τὰ κατὰ τὸ σῶμα σφόδρα ἐκθερμανθέντα, φλογοειδῆ χροιὰν ἔχει. οἱ δὲ ἄκρως θερμανθέντες, μανικοὶ ἂν εἶησαν. Οἷς δὲ περὶ τὰ στήθη ἐπιφλεγές ἐστι χρῶμα, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος. τοῖς γὰρ ὀργιζομένοις ἐπιφλέγεται τὰ περὶ τὰ στήθη. Οἷς τὰ περὶ τὸν τράχηλον καὶ τοὺς κροτάφους αἱ φλέβες κατατεταμέναι εἰσὶ, δυσόργητοι· E ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ὀργιζομένοις ταῦτα συμβαίνει. Οἷς τὸ πρόσωπον ἐπιφοινίασον ἐστὶν, αἰσχυντηλοί εἰσιν· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς αἰσχυνομένοις ἐπιφοινίασεται τὸ πρόσωπον. Οἷς αἱ γνάθοι ἐπιφοινίασουσιν, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς μεθύουσιν ἐπιφοινίασουσι αἱ γνάθοι. Οἷς δὲ οἱ ὀφθαλμοὶ ἐπιφοινίασουσιν, ἐκστατικοὶ ὑπὸ F ὀργῆς· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὑπὸ ὀργῆς ἐξεστηκότες, ἐκφοινίασονται τοῖς ὀφθαλμοῖς. Οἷς δὲ ὀφθαλμοὶ ἄγαν μέλανες, δειλοί. ἡ γὰρ ἄγαν μέλανες, δειλοί. ἡ γὰρ ἄγαν μελαίνη χρόα, ἐφάνη δειλίαν σημαίνουσα. οἱ δὲ μὴ ἄγαν μέλανες, ἀλλὰ κλίνοντες, πρὸς τὸ ξανθὸν χρῶμα, εὔψυχοι. Οἷς δὲ ὀφθαλμοὶ γλαυκοὶ, ἢ λευκοὶ, δειλοί· ἐφάνη γὰρ τὸ λευκὸν χρῶμα δειλίαν σημαῖνον.

referuntur ad passionem, quoniam mœsti tristem habent faciem. Qui autem demissam lamentabundi sunt: referuntur ad passiones, quia lugentes demissæ sunt frõtis. Quicunque autem habent magnum CAPVT, sensati: referuntur ad canes. Qui verò paruum, insensati: referuntur ad asinos. Qui habent capita pineata, inuerecundi: referuntur ad habentes vngues curuos. Quicunque AVRES paruas habent, simiales sunt. Quicunque autem magnas, asinini. Videbit vtique aliquis & canum optimos moderatas aures habere. Qui valde nigri sunt, timidi: referuntur ad Ægyptios & Æthiopes: valde autem albi, timidi sunt: referũtur ad mulieres. Color autem, qui confert ad fortitudinem, medium horũ oportet esse. Flaui, magni animi sunt: referuntur ad leones. Rubei, valde astuti: referũtur ad vulpes. Pallidi, colore turbati, timidi sunt: referuntur ad passionem, quæ fit ex timore. Qui autem sunt mellei coloris, sunt frigidi: frigida autem mobilia difficulter: mobilibus autem difficulter existentibus iis, quæ iuxta sunt, corpus, erunt vtique tardi. Quibus color ruber est, acuti sunt, quoniam omnia, quę sunt secundum corpus à motu calefacta erubescunt. Quibus color flammeus est, maniaci: quia ea, quæ sunt in corpore vehementer calefacta, flammeum colorem habent. Qui autẽ sunt extremè calefacti maniaci vtiq. sunt. Quibus autem est flammeus color circa pectus, difficilis irę sunt: referũtur ad passionem. Iratis nanque superaccenduntur ea, quæ sunt circa pectus. Quibus autem sunt, difficilis iræ referũtur ad passionem, quia iratis hæc accidunt. Quibus facies supererubescens est, verecundi sunt: referũtur ad passionem, quia verecũdatis supererubescit facies. Quibus genæ supererubescunt amatores sunt vini: referuntur ad passionem, quia ebriis supererubescũt genæ. Quibus autem oculi supererubescunt, extra se feruntur ob iram: referuntur ad passionem, quia qui ab ira efferuntur, erubescunt oculis. Quibus autem oculi valde nigri, timidi: niger enim color videtur timiditatem significare. Qui autem non sunt valdevalde nigri, sed declinãt ad flauum colorem, boni animi sunt. Quibus autẽ oculi glauci, aut albi, timidi sunt: visus est albus color timiditatẽ significare.